νικὴ φιλολογία παρέχει οὐχὶ τροφὴν ἀλλὰ θεσπεσίαν εὐωχίαν πρόσφορον ἑκάστῃ τῶν σπουδαστικῶν τῆς ἀνθρωπότητος ἡλικιῶν;

Ἡ τῶν Ἑλλήνων νεότης οὐ μόνον τῶν εἰρημένων ἕνεκα ἀλλὰ καὶ πολλῶν ἄλλων λόγων ὀφείλει μηδὲ στιγμὴν μίαν ἀπὸ τῶν χειρῶν ἀφιέναι τὰ κείμενα τῶν προγόνων. Ἐπ' αὐτῶν τὸ συλλάβημα τὸν Ἑλληνόπαιδα χρὴ μανθάνειν, περὶ τὰ ἐν αὐτοῖς ἀπαντῶντα ἤθη καὶ ἔθιμα καὶ ὀνόματα ἐθίζειν τὴν ἀκοήν, τὴν γλῶσσαν, τὴν καρδίαν καὶ τὴν διάνοιαν, τοῖς γλωσσικοῖς τύποις καὶ τῇ καλλιεπείᾳ αὐτῶν συνοικειοῦσθαι. Μέγα τὸ ἐκ τούτου ἐθνικὸν ὄφελος, μητρικὸν τὸ τοιοῦτο διδασκαλίας σύστημα, ἀνυπολόγιστον τὸ μαθητικὸν κτῆμα. Ἐκ τετραετοῦς φοιτήσεως ἐν σχολῇ ἀστικῇ πράγματα στοιχειώδη ἐπιστημονικὰ καὶ τὴν ἐξήγησιν τὴν ἀληθινὴν τῶν φυσικῶν φαινομένων ὁ παῖς οὐ μαθήσεται ἢ ἀτελῶς λίαν, κἂν διαρραγῶσι τοὐναντίον κραυγάζοντες οἱ νεοελληνισταὶ οἱ τὴν γλῶσσαν τὴν μητέρα τῶν ἐπιστημῶν μωρῶς καὶ κερδοσκοπικῶς ἀνίκανον κηρύσσοντες πρὸς τὴν τῶν ἐπιστημονικῶν στοιχείων σπουδήν. Μανθάνων ὁ Ἑλληνόπαις ἐν τῇ προκαταρκτικῇ διδασκαλίᾳ ὅσα ὀφείλει καὶ δύναται μαθεῖν ἐκ τῆς φυσικῆς καὶ μαθηματικῆς γεωγραφίας, ἀκριβῶς δὲ ὅσον ἔνεστι τὴν γεωγραφίαν, τὴν ἀριθμητικήν, βραχείας τινας καὶ λίαν εὐλήπτους ἰδέας περὶ τῶν πραγμάτων, ἱστορίαν τοῦ ἔθνους αὐτοῦ εὐρυτέραν καὶ τῶν λοιπῶν ἐθνῶν ἐπιτομωτέραν ἀσκείσθω πρὸ πάντων εἰς τὴν ἀρχαίαν Ἑλληνικὴν γλῶσσαν, διότι περὶ ταύτην ὅσον ἔνεστιν ἐντελῶς ἀσκούμενος προσκτήσεται τὴν κλεῖδα δι' ἧς καὶ μόνος ἔπειτα ἐν τῷ κοινωνικῷ βίῳ, εἰ οὐ πρὸς σπουδὰς ἀνωτέρας προβήσεται, πραγματικωτέρας δυνήσεται κατανοῆσαι ἀναγνώσεις.

Παυσάσθωσαν, πρὸς θεοῦ, οἱ νεοελληνικοὶ παιδαγωγοὶ πείθειν πειρᾶσθαι τοὺς ἀφελεστέρους καὶ ἰδιωτικωτέρους τῶν Ἑλλήνων ὅτι χαλεπὴ μέν ἐστι καὶ πολλῶν ἐνιαυτῶν φέρει σπατάλην ἡ τῆς ἀρχαίας Ἑλληνικῆς μάθησις, ἄλλη δὲ τίς ἐστιν ἡ ἀρχαία Ἑλληνικὴ ἢ μητρική. Εἰ παρὰ τοῖς Γερμανοῖς καὶ